# ΓΝΩΜΑΙ.

Οὔτ' ἐπὶ τ
'Εξιν, 

Οὐ δύνατ
Αἰσχρὸ

Νῦν σοι κ
Καὶ ἀγὸ

1.

*Οὔτ᾽ ἐπὶ τῇ κεφαλῇ διάδημ᾽, οὔτ᾽ ἐν χροΐ χρυσός*
*Ἔϛιν, ὅσον ἀρετὴν ἐντὸς ὅταν τις ἔχῃ.*

2.

*Οὐ δύναται κακὸς ὢν νυκτὸς γλυκὺν ὕπνον ἐρέπτειν*
*Αἰσχρὸν μὴ τελέσας, οὐδὲ καὶ εἰ τέλεσεν.*

3.

*Νῦν σοι κτῆσ᾽ ἀγαθόν· πονέοντι γάρ ἐϛιν ἀρηγὼν*
*Καὶ ἀγὸς εἰνὶ ὁδῷ καὶ διὰ νύκτα φύλαξ.*

4.

*Κεῖνα θεὸς πέμπει, ἅττ' ἤλπισεν, ἀνέρι χρηςῷ,*
*Αἰσχρῷ δ', ὅσσ' αὐτὸς κῆρι δέδοικε, πόρει.*

---

5.

*Πλυτίζει ἀγαθοφροσύνη· κακίη δ' ἐφίλησε*
*Πολλά περ ὄντα κακῦ κτήματα κλεπτέμεναι.*

---

6.

*Φὼς ἄδικός τις ἐὼν κινεῖται, ἠΰτε φύλλα,*
*Ἡ δὲ δίκη ῥίζας, ἠΰτε δένδρον, ἔχει.*

---

7.

*Κεύθει ἐπιςήμην ὁ σοφὸς κραδίηφι βαθείῃ,*
*Μωρὸς δ' ἐκ κραδίης πάντα τὰ μωρὰ χέει.*

---

8.

*Ἔςι λάλε σόμ' ἀεὶ ἀνεῳγμένον, ἠΰτε βόθρος,*
*Αὐτὸς μὴ νοέων πολλάκις εἰσέπεσεν.*

---

9.

*Δυστυχίης προτρέχει ὑπερηφανίη τε καὶ ὄγκος,*
*Σφάλλεται, εἰ κεφαλὴν ἦρε βροτός τις ἄγαν.*

---

10.

*Ἐκ κρήνης οἷον καθαρᾶς λιπαρὸν ῥέον ὕδωρ,*
*Τοῖος δὴ πιςȣ̃ ἐςι φίλοιο λόγος.*

---

11.

*Οὐ λυπȣ̃σι κακȣ̃ χεῖρες πληγῇσι βαρείαις,*
*Οἷον ἐλέγχοντος γλῶσσα λόγοισι σοφȣ̃.*

---

12.

*Μή μοι καὶ μελίτων, ὦ παῖ, γλυκέων περ ἐόντων,*
*Ἔσθι᾽ ἄγαν· δεῖ γάρ σ᾽, ὅσσ᾽ ἄγαν, ἐξεμέειν.*

---

13.

*Οὐκ ὄφελός σοι ἔχειν, ὦ νήπιε, χρυσὸν ἄπειρον·*
*Οὐκ ἔςι κτᾶσθαι χρήμασι σωφροσύνην.*

---

14.

*Δῦναι τοῖσι πένησι πένητά σε ὑ τάχα θήσει·*
*Κλέψας πλυτῦσιν πλέσιος ὑδ᾽ ἄρ᾽ ἔσῃ.*

---

15.

*Μηδὲ δέοντος ἄγαν λυπῦ, ἑτάροιο θανόντος,*
*Μηδ᾽ αὖ ἐχθρὸν ἄγαν χαίρεο νεκρὸν ἰδών.*

---

16.

Οἷον ὀδοῦσι τὸ ὄξος, ἰδ᾽ ὀφθαλμοῖσιν ὁ καπνός
'Οκνηροὶ δοῦλοι, ὥσπερ ἐπ᾽ ἔργον ἴῃς.

---

17.

Ἄφρονός εἰσι λόγοι ὡσεὶ ξίφος· αὐτὰρ ἰᾶται
Ἀνδρὸς γλῶσσα σοφοῦ τραύματα τῆς κραδίης.

---

18.

Τὸν θεὸν αἰδεῖσθαι, σοφίης ἀρχὴ ἐρατεινῆς,
Τὸν θεὸν αἰδεῖσθαι ἀκρόπολις κρατερά.

---

19.

Σὺν φιλίῃ καὶ ἔρωτί μοι ὄψον μᾶλλον ἀρέσκει,
Ἀνδράσιν ἢ ὀπτὸς βοῦς παρὰ δυσμενέσιν.

---

20.

*Ἔςι κόμη πολιὴ ὥσεὶ διαδήματ᾽ ἄνακτος,*
*Τῆς ἀρετῆς αἰεὶ ἤνυσεν εἴ τις ὁδόν.*

---

21.

*Σκηπτῦχος βασιλεὺς χρυσῷ θρόνῳ εἰνὶ καθίζων*
*Ὄμμασι πάντα κακῶν ἔργα διεσκέδασεν.*

---

22.

*Εἴπ᾽ ἄγε, ψευδόμενος μάρτυς τίνι εἴκελός ἐςιν;*
*Ἔγχεϊ καὶ ξίφεϊ· κῆρα καὶ αὐτὸς ἄγει.*

---

23.

*Φὼς μὴ δυνάμενος κρύπτειν νόον ὡς πόλις ἐςί,*
*Τεῖχος ἀμυνόμενον μὴ περιζωσαμένη.*

---

24.

*Ψάμμον γ᾽ ἠὲ λίθυς φορέειν μέγα φορτίον ἐςίν·*
*Πολλῷ δ᾽ αὖ μεῖζον, νήπιον ἄνδρα φέρειν.*

---

25.

*Ὕδωρ ἠΰτε ψυχρὸν ἀπέσβεσε καιόμενον πῦρ,*
*Σφάλματα σβεννύει ῥεῖ᾽ ἐλεημοσύνη.*

---

26.

*Οἰκοδομεῖ τέκνοισι δόμους τάχα πατρὸς ἐπευχή,*
*Ἡ δὲ κατασκάπτει δώματα μητρὸς ἀρά.*

---

27.

*Εὔχῃ ἐν κραδίῃ ἵλεων ἐχέμεν θεὸν ὄντα;*
*Πλεῖον ὅσῳ ἤρθης, ἴσθι ταπεινότερος.*

---

28.

*Ὅπλα μὲν ἠδ᾽ ἵππυς βροτοὶ ἀνέρες ἀρτύνυσι·*
*Τίς δὲ πόρει νίκην; εἷς, Θεὸς ὐρανίων.*

---

29.

*Ἐν θέρει ὡς νιφετός, καὶ ἄσπετος ὄμβρος ἀμητῷ*
*Ἐϛιν ἀνήρ, τιμῆς νήπιος ὅς κε τύχῃ.*

---

30.

*Ἀργός φησι· λέων περὶ δῶμ᾽ ἔκτοϛδε βαδίζει·*
*Δείδι᾽, ἔμ᾽ ἀλγεινοῖς μὴ τάχ᾽ ὀδῦσι φάγῃ.*

φορτίον ἐςίν·
ρα φέρειν.

μενον πῦρ,
ύνη.

ατρὸς ἐπευχή,
ρὸς ἀρά.

ὄντα;
ότερος.